N 223

ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΤΥΛΙΑΝΟΥ

# ΤΟΥ ΠΑΦΛΑΓΩΝΟΣ

**Ψαλλομένη τὴν ΚΣΤ΄ Νοεμβρίου**

*Ἐκδοθεῖσα ἐν Σύρῳ τῷ 1865, νῦν δὲ ὑπὸ Γεωργίου Α. Βουτέρη ἱερέως καὶ ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου*

Προσετέθησαν δὲ καὶ Πολυέλεος καὶ ἕτερα χρήσιμα πρὸς τιμὴν τοῦ Ἁγίου καὶ ψυχικὴν ὠφέλειαν τῶν ἀδελφῶν

Στιχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάτωσεν ὁ Κύριος. Προορῶμεν τὸν Κύριόν μου διὰ παντός. Κύριος φωτίζει τοὺς δικαίους Διάβολος τιμωρεῖ τοὺς ἁμαρτωλούς. Εὐκαταφρόνησες τὸν ποιητὴν σου Θεὸν, ὑστερεῖσαι αἰωνίως τὰ παρόντα καὶ μέλλοντα ἀγαθὰ τοῦ Κυρίου, Δίκαιος Κύριος καὶ δίκαιαι αἱ κρίσεις του, δικαίως ἔρχονται πρὸς ἡμᾶς αἱ τιμωρίαι τοῦ Θεοῦ.

X 967

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΔΗΜΗΤΡΙΟΥ Μ. ΔΕΛΗ

ΟΔΟΣ ΜΙΛΤΙΑΔΟΥ ΑΡΙΘ. 1

1919

Petit pag 270 N° 9

εἶπεν : «Οὐδεὶς ἀνάπτει λύχνον καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ».

Ὡς λαμπὰς λοιπὸν καὶ ὁ μακάριος ἑτοιμασθεὶς τῷ Θεῷ ἔδει νὰ διαχύσῃ τὸ ἱλαρὸν αὐτοῦ φῶς εἰς δόξαν Θεοῦ, ἵνα ἴδωσιν οἱ ἄνθρωποι πῶς ὁ Θεὸς δοξάζει τοὺς δοξάζοντας Αὐτόν. Ὅθεν ἡ φήμη τῆς ἁγιοσύνης τοῦ ὁσίου Στυλιανοῦ διεδόθη πανταχοῦ, καὶ πάντες πάντοθεν συνέρρεον μετ' εὐλαβείας πρὸς τὸν Ἅγιον, καὶ ἀπεκόμιζον ψυχικά τε καὶ σωματικὰ ἀγαθὰ ἐπιστρέφοντες καὶ κρατυνόμενοι ἐν τῇ εὐσεβείᾳ καὶ ἀγάπῃ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, καὶ πολλὰς ἰάσεις σωματικὰς λαμβάνοντες παθῶν ἀνιάτων. Οὕτω δὲ βιώσας ἐπὶ τῆς γῆς ὡς ἐπίγειος ἄγγελος, ἐπιστάσης τῆς ὥρας, ἵνα τύχῃ τοῦ διακαῶς ποθουμένου ἵνα ἐκδυμήσῃ τοῦ σώματος καὶ ἐνδυμήσῃ τῷ Κυρίῳ, ἵνα ἀναλύσῃ, κατὰ Παῦλον, καὶ σὺν Χριστῷ ᾖ, ἔλαβεν εἴδησιν ὅτι τὸ τέλος τοῦ βίου ἤγγικεν. Ὅθεν δοξολογήσας ἀπῆλθε πρὸς Κύριον, λάμψαντος τοῦ προσώπου αὐτοῦ ὡς Ἡλίου. Παραυτα δὲ χορὸς ἁγίων ἀγγέλων παρέλαβε τὴν Παναγίαν αὐτοῦ ψυχήν. Οὐδὲ μετὰ τὸν θάνατον δ' αὐτοῦ ἐπαύσατο παρέχων ἰάσεις ἀφθόνως. Διότι, ὅταν θανατηφόρος ἐπήρχετο εἰς τὰ παιδία ἀσθένεια καὶ οἱ γονεῖς ἔμενον ἄτεκνοι, ὅσοι ἐν τῇ ἀσθενείᾳ τῶν τέκνων των μετὰ πίστεως ἐπεκαλοῦντο τὸν Ἅγιον Στυλιανὸν καὶ μετ' εὐλαβείας ἐζωγράφιζον τὴν πανσέβαστον καὶ ἁγίαν αὐτοῦ εἰκόνα, καὶ τὴν ἴασιν τῶν τέκνων παρευθὺς ἐλάμβανον, καὶ ἄλλα ἐγέννων ἐν χάριτι Θεοῦ διὰ μεσιτείας τοῦ Ἁγίου. Καὶ σήμερον τοῖς μετὰ πίστεως ἐπικαλουμένοις ὁμοίως βοηθεῖ. Τοιοῦτος ὁ ἅγιος Στυλιανός, ὅστις ἔστω παράδειγμα μιμήσεως ἡμῖν, διότι καὶ αὐτὸς ἦν ἄνθρωπος καθὼς καὶ ἡμεῖς, ἀλλ' ἀποφασίσας ἔτυχε τῆς χάριτος τοῦ Θεοῦ, ἐτελειώθη ἐν Χριστῷ καὶ ἐγένετο μακάριος. Ἵνα δὲ καὶ ἡμεῖς τῶν αὐτῶν τύχωμεν ἀγαθῶν, μιμηθῶμεν τὴν πίστιν καὶ ἀφοσίωσιν τοῦ ἁγίου, ἐργασθῶμεν ἔργα εὐσεβείας καὶ σωφροσύνης, δικαιοσύνης τε καὶ ἐλεημοσύνης ἐν τῷ κύκλῳ ἡμῶν. Ὁ δὲ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθεὶς καὶ ἀναστὰς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς τοῦ ὁσίου αὐτοῦ καὶ ἁγίου Στυλιανοῦ πρεσβείαις ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρα τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου.

Τῇ αὐτῇ ἡμέρα ὁ Ὅσιος Πατὴρ ἡμῶν Νίκων ὁ Μετανοεῖται ἐν εἰρήνῃ τελειοῦται. Τὰ ἐγκαίνια τοῦ Ἁγίου Γεωργίου ἐν Κυπαρίσσῳ.



Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σέλου Ἐπισκόπου Περσίδος,

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰακώβου τοῦ Ἀναχωρητοῦ.

Τῇ αὐτῇ ἡμέρα τοῦ Ἁγίου Νεομάρτυρος Γεωργίου τοῦ Χίου. ἀθλήσαντος ἐν ἔτει 1807.

Τοῦ Ἁγίου Ἰννοκεντίου Ἐπισκόπου Ἰρκοῦντας τοῦ θαυματουργοῦ Ρώσσου,

Ταῖς τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων Πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς Ἀμήν.

26 Νοεμβρίου

***Τῶν ὁσίων πατέρων ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου, Στυλιανοῦ τοῦ Παφλαγῶνος καὶ Νίκωνος τοῦ «Μετανοεῖτε».***

Ὁ μὲν Ἀλύπιος καταγόμενος ἀπὸ τὴν Ἀδριανούπολιν ἔζησεν ἐν ἔτει 610. Ἀσπασθεὶς τὸν μοναχικὸν βίον διέλαμψε καὶ ἐγένετο περιβόητος, ὥστε νὰ ἀληθεύσουν τὰ σημεῖα ὅπου ἐφάνησαν εἰς τὴν μητέρα του κατὰ τὴν γέννησίν του. Ὠνομάσθη δὲ Κιονίτης, διότι κυρίως ἔζησεν ἐπάνω εἰς ἕνα κίονα ἀσκεπής, ἄνευ τινὸς στέγης 53 ὅλα ἔτη εἰς μέγα θάμβος τῶν συγχρόνων του. Ἐκοιμήθη δὲ ἐν εἰρήνῃ γενόμενος 100 ἐτῶν.

Ὁ δὲ Στυλιανὸς ἀπὸ τὴν Παφλαγονίαν καταγόμενος ἐπεδόθη εἰς τὴν ἀσκητικὴν πολιτείαν διαβιώσας εἰς τὴν ἔρημον ἐντὸς σπηλαίου μὲ μεγάλην ἐγκράτειαν. Ἀξιωθεὶς δὲ νὰ λάβῃ τροφὴν παρὰ Θεοῦ οὐράνιον δι' Ἀγγέλου, ἀνεδείχθη διὰ τῆς χάριτος ἰατρὸς παντοίων νοσημάτων καὶ μάλιστα τῶν νηπίων. Ὅθεν καὶ ζωγραφίζεται εἰς τὴν ἁγίαν εἰκόνα του μὲ χαριεστάτην μορφὴν βαστάζων εἰς τὰς ἀγκάλας νήπιον ἐσπαργανωμένον. Ὄχι δὲ μόνον αἱ μητέρες τὸν εἶχον προστάτην εἰς τὰ τέκνα των, τὰ ὁποῖα φέρουσαι πρὸς αὐτόν, ἐζήτουν τὴν εὐλογίαν του, ἀλλὰ καὶ στεῖραι ἱκετεύουσαι τὸν ἅγιον ἐλάμβανον τὸ αἴτημά των, ἀποκτῶσαι τέκνα.

Τέλος ὁ ὅσιος Νίκων ἔζησε πολὺν καιρὸν εἰς τὴν Κρήτην καὶ τὴν Πελοπόννησον, ἐξ Ἀρμενίας καταγόμενος. Ἐγκατασταθεὶς δὲ εἰς τὴν Λακεδαίμονα ὅπως ἕως σήμερον ἑορτάζεται λαμπρῶς ἡ μνήμη του, ἔκτισε ναὸν καὶ μοναστήριον ἐγγὺς τῆς Σπάρτης. ἔνθα ἐτέλει παντοίας θαυματουργίας εἰς δόξαν Χριστοῦ. Ἐπωνομάσθη δὲ Μετανοεῖτε, διότι

περιερχόμενος τὰς πόλεις καὶ χώρας τῆς Πελοποννήσου ἐκάλει τοὺς Χριστιανοὺς εἰς Μετάνοιαν ἐπαναλαμβάνων τὴν Εὐαγγελικὴν ρῆσιν: «Μετανοεῖτε ἤγγικεν ἡ βασιλεία τῶν Οὐρανῶν.... »

**Ὠδὴ Ζ'.**

Τὴν καρδίαν τῆς Τριάδος οἰκτήριον ἀπεργασάμενος, ὅθεν ἡ θεία σωρός, τῶν σεπτῶν λειψάνων σου μακαριώτατε, μύρα ἐκβλύζει ἀεὶ προχεόμενα, εἰς φωτισμὸν καὶ κάθαρσιν, τῶν σεπτῶς σοι προσιόντων.

Ἡ ψυχή σου Θείου Πνεύματος ἐλαμπομένη, ἀεὶ ψυχῶν ἑώρα πιστῶς, τῶν προσερχομένων σοι θαυμασιώτατε, τὰ βουλεύματα. προφητικαῖς προγνώσεσι ἱερῶς θαυμαζομένη.

**Θεοτοκίον**

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, Θεοχαρίτωτε, τῇ δεξιᾷ τοῦ αὐτοῦ, ἁγνὴ ἀλλοιώσας του τὸν νοῦν ἱκέτευε, πρὸς τὰ κρείττονα δεινῶς περιτρεπόμενον, ταῖς τοῦ βίου ἀσχολίαις.

**Ὠδὴ Η'**

Ἱστάμενος ἄνω πρὸς τὸ ὄρος, ὡς ἐπὶ λυχνίας Πάτερ ὅσιε, πάντων τὰ νοήματα, πίστει κατεφώτιζε, ὑποδεικνύων ἄριστα μακαριώτατε, τὴν τρίβον τῆς ζωῆς, καὶ ἀνάγων, τούτους θείῳ λόγῳ πρὸς ὕψος ἀπαθείας.

Νοΐ ἀπαθείᾳ καθαρθέντι, ὡμίλεις Κυρίῳ Παντοκράτορι, ὑφ' οὗ τὰ ἀπόρρητα ὅσιε μυούμενος, Στυλιανὲ προέλεγες εἰς σωτηρίαν ψυχῶν, ὡς μέγιστος Παμμάκαρ Προφήτης, ὅθεν σὲ συμφώνως παμμάκαρ εὐφημοῦμεν.

**Θεοτόκιον**

Ὡράθης Ἀγγέλων ὑπερτέρα, Θεὸν ἀπορρήτως σωματώσασα, τοῦτον οὖν ἱκέτευε Δέσποινα πανάμωμε τῶν σαρκικῶν ἀνώτερον παθῶν γενέσθαι με νοὸς ἐν ὑψηλῇ ταπεινώσει, ἀνυμνολογοῦντα τὴν σὴν μεγίστην χάριν.

**Ὠδὴ Θ'.**

Σοῦ τὸ Ἱερόν, καὶ Ἅγιον λείψανον ἐν τάφῳ κείμενον, θάπτει τὰ νοσήματα καὶ φλέγει στῖφος δαιμόνων πάντοτε, Στυλιανὲ μακάριε τῇ θείᾳ χάριτι, ἀναβλύζον πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζουσι.

Ὥσπερ οὐρανῶν τὰ ὄρη καὶ σπήλαια ᾤκησας ὅσιε, ὅθεν εἰρήνευσαν



ἄγριοι θῆρες καθυποτάξαντι πάθη σαρκὸς δισκάθεκτα Μακαριώτατε καὶ δικαίῳ, ἤδη χρηματίσαντι διὰ τοῦτο πίστει σὲ γεραίρομεν.

**Θεοτόκιον**

Φώτισον Ἁγνή, ψυχῆς μου τὰ ὄμματα φῶς ἡ κυήσασα, μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος βαθύτατον, μηδὲ βυθὸς καλύψει με τῆς ἀπογνώσεως, ἀλλ' αὐτή με. σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

**Καταβασίαι τῶν Χριστουγένων**

**Ὠδὴ Α'. Ἦχος Α'.**

Χριστὸς γεννᾶται δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν ἀπηντήσατε. Χριστὸς ἐπὶ γῆς ὑψώθητε· Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ ἀναμνήσατε, λαοί; ὅτι δεδόξασται.

**Ὠδὴ Γ'.**

Τῷ πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἄρρευστος, Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντα ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμε· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν. Ἅγιος εἶ Κύριε.

**Ὠδὴ Δ.**

Ράβδος ἐκ τῆς ρίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός Δόξα τῇ δυνάμει σου Κύριε.

**Ὠδὴ Ε.'**

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθίζοντες, δοξολογοῦμέν σε, φιλάνθρωπε.

**Ὠδὴ στ'**

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον ἧς γὰρ οὐχ ὑπέστη ρεύσεως τὴν τεκοῦσαν κατέσχες ἀπήμαντον.

**Ὠδὴ ζ'**

Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος κατα-

φρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον ὁ τῶν Πατέρων Θεὸς εὐλογητός.

**Ὠδὴ Η'.** Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσόβολος, ἐξεικόνησε κάμινος τύπον οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς θεότητος, Παρθένου ἣν ὑπέδυ νηδῦν, διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ Θ'**

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου, τεχθέντα Βασιλέα.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον, Θρόνον Χερουβικὸν, τὴν Παρθένον· Τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλήθη, ὁ ἀχώρητος, Χριστὸς ὁ Θεὸς, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε**

Πλοῦτον τὸν σὸν ἐσκόρπισας, Στυλιανὲ τοῖς πένησι, ἁγιασθεὶς ἐκ κοιλίας τῆς μητρικῆς θεοφόρε, διὸ καὶ τὸν οὐράνιον, ἀντὶ προσκαίρου εἴληφας καὶ χάριν τῶν ἰάσεων, περιφρουρεῖν τε καὶ σώζειν τὰ νεογνὰ θεοφόρε.

**Θεοτόκιον**

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον ἐπισκιάσασαν σοι, Κόρη, ἀνέδειξε Θεοτόκον.

**Εἰς τοὺς Αἴνους Ἦχος Α.** Τῶν Οὐρανίων ταγμάτων. Κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης.

Ἁγιασθεὶς ἐκ κοιλίας μητρὸς πανόλβιε, ἀσκητικὴν προείλου βιωτὴν θεοφόρε, πάντα τὰ ἐν κόσμῳ, δοκοῦντα τερπνὰ ἀποβαλὼν, καὶ οὐρανίῳ διηνεκῶς πολιτείᾳ ἐπὶ τῆς γῆς, ἐκληρώσω τὰ οὐράνια.

**Στίχ.** Αἰνεῖτε αὐτῷ ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτῷ ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Μεγίστης ὄντως ἐγένου χάριτος μέτοχος, Στυλιανὲ παμμάκαρ, μοναστῶν ὡραιότης, ἄρτῳ γὰρ ἀγγέλων ἐπὶ τῆς γῆς ἐντρεφόμενος Ὅσιε, τὰς ἀτεκνούσας μητέρας θαυματουργῶν εὐτεκνούσας ἐναπέδειξας.

**Στίχ.** Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτὸν ἐν χορ-



δαῖς καὶ ὀργάνῳ.

Φρούρει ἀπαύστως παντοίων νόσων καὶ θλίψεων, τὴν πόλιν ταύτην Πάτερ, τὴν τιμῶσαν σε πόθῳ ἔχεις γὰρ μεγίστην πρὸς τὸν θεὸν παρρησίαν, πανόλβιε, Στυλιανέ, ἐξαιρέτως τὰ νεογνὰ πάσης βλάβης περιφύλαττε.

**Ἕτερα τοῦ Αὐτοῦ.** Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις κτλ.

Ὅτε λύμη ἡ φθοροποιὸς, αἴφνης τοῖς νηπίοις, ἀφῄρει, ἀποτελοῦσα οἰκτρῶς πάσας ἀτεκνούσας μεν, πρώην κυοῦσας καλῶς, τὰς μητέρας Πανόλβιε Στυλιανὲ Πάτερ τοῦτο σὸν εἰκόνισμα χρωματουργούμενον, πάλιν εὐτεκνούσας σας ἐποίει, ἐπικαλουμένας τε πίστει, Ὅσιε τρισμάκαρ, θεῖον ὄνομα.

**Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.** Ἄσατε τῷ Κυρίῳ.

Ὅτε ἐκ κοιλίας μητρικῆς, θείαν ἀνεδέδειςω χάριν, Στυλιανὲ τοῦ Χριστοῦ ὥσπερ ἄλλος Σαμουὴλ, ἁγιασμοῦ δαψιλῶς, τὴν ἐπίκουρον ὕπαρξιν διένειμες πᾶσιν πένησιν καὶ ἔδραμες ζητῶν τὸν σὸν ἐραστὴν, ὅνπερ ἐπὶ πόνῳ ἤσκησεν εὗρες ἀπολαβὼν ἀφθόνως ἄληπτον καὶ θείαν ἀγαλλίασιν.

Στίχ. Ἄσωτε τῷ Κυρίῳ ᾆσμα κοινόν.

Ὅτε ἀπεμάκρινας φυγὼν πάτερ, τοὺς τοῦ βίου θορύβους, Στυλιανὲ νουνεχῶς, ᾤκησας τὴν ἔρημον, καὶ ἐν σπηλαίῳ ἀσδύς, δι' Ἀγγέλου ἐλάμβανες, οὐράνιον ἄρτον, μάκαρ προσδεχόμενος, τὸν σώζοντα σε Θεὸν, ὅθεν ἀμοιβὴν ἐκομίσω πάντων τῶν τιμώντων σε πόθῳ, τὰ αἰτήσεις ἐκπληροῦν μακάριε.

**Δόξα. Ἦχος Πλ. Α'**

Δεῦτε ἅπαντες φιλέορτοι καὶ φιλόχρηστοι σήμερον τὴν ἱερὰν μνήμην τοῦ μεγάλου Πατρὸς Στυλιανοῦ τοῦ σοφοῦ ἐν ὕμνοις τιμήσωμεν. Οὗτος γὰρ ἀποστολικῶς, ὡς σκύβαλα ἡγησάμενος πάντα διαβιτικῶς, ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, διὸ καὶ τὸ μνημόσυνον αὐτοῦ, εἰς τὸν αἰῶνα μένει καὶ τοῖς ἐκ πόθου, τιμῶσιν αὐτὸν νέμει τὰς ἰάσεις τῶν νοσημάτων καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν Προεόρτιον ὁ αὐτὸς**

Βηθλεὲμ ἑτοιμάζου εὐτρεπιζέσθω ἡ φάτνη, τὸ σπήλαιον δεχέσθω ἡ ἀλήθεια ἦλθεν· ἡ σκιὰ παρέδραμε· καὶ θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται μορφωθεὶς τὸ καθ' ἡμᾶς καὶ θεώσας τὸ πρόσλημμα. Διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ κράζοντες. Ἐπὶ γῆς εὐδοκία ἐπεφάνη σῶσαι τὸ γένος.

# ΔΟΞΟΛΟΓΙΑ

**Δόξα σοι τῷ δείξαντι τὸ φῶς**

Δόξα ἐν ὑψίστοις Θεῷ. καὶ ἐπὶ γῆς εἰρήνης, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σε διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τούς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Ἐκ Γ'.**

Κύριε, καταφυγὴ ἐγεννήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς.

**Ἐκ Γ'.**

Δόξα καὶ νῦν. Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.



Εἶτα ψάλλεται γεγονωτέρᾳ φωνῇ.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**Εἰς τὴν Λειτουργίαν.**

## ΑΠΟΣΤΟΛΟΣ

**Προκείμενον. Ἦχος βαρύς.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. ιγ'. 17—21).

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων, τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΑΓΓΕΛΙΟΝ

**Ἐκ τοῦ κατὰ Λουκᾶν. (Κεφ. ς'. 17—23.**

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. καὶ ὄχλος μαθητῶν αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἰερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων

αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοὶ, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρεται ἐν ἐκείνῃ τῇ ἡμέρα καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

*26 Νοεμβρίου Ὁσίου Ἀλυπίου, Νίκωνος τοῦ Μετανοεῖτε Στιλιανοῦ τοῦ Παφλαγῶνος, καὶ Νεομάρτυρος Γεωργίου τοῦ Χιοπολίτου ἀθλήσαντος τὸ 1807*

**Ἀπολυτίκιον Ἁγ Ἀλυπίου Ἦχος Α.'**

Ὑπομονῆς στίλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰώβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν ὑπάρχων, ἐν σώματι, Ἀλύπιε Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἁγίου Νίκωνος Ἦχος Γ.' θείας πίστεως.**

Χαίρει ἔχουσα ἡ Λακεδαίμων, θείων λάρνακα, τῶν σῶν λειψάνων, ἀναβρύουσαν πηγὰς τῶν ἰάσεων, καὶ διασώζουσαν, πάντας ἐκ θλίψεως, τοὺς σοὶ προστρέχοντας, πάτερ ἐκ πίστεως, Νίκων Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ὁσίου Στυλιανοῦ Ἦχος Γ'.**

Στήλη ἔμψυχος τῆς ἐγκρατείας, στύλος ἄσειστος τῆς Ἐκκλησίας, Στυλιανέ ἀνεδείχθης μακάριε τὸν γάρ σὸν πλοῦτον σκορπίσας τοῖς πένησιν, ἐν οὐρανοῖς ἐκομίσω τὸν ἄφθαρτον, καὶ ἐγκρατείᾳ καὶ πόνοις πα-



νόλβιε, χάριν ἄληφας, νηπίων προστάτης γενόμενος, καὶ φύλαξ νεογνῶν ἀπροσμάχητος.

**Ἁγ Γεωργίου Ἦχος Α.' Τοῦ λίθου σφραγισθέντος.**

Πληθὺς Κυδωνιέων, ἐν ᾠδαῖς εὐφημήσωμεν, ἡμῶν τὸν πολιοῦχον, καὶ τῆς Χίου τὸ καύχημα, τῆς πίστεως, πρόμαχον στεῤῥὸν, Γεώργιον ὁπλίτην τὸν θερμὸν, ἐπλάκης γάρ γενναίως, τῷ δυσμενεῖ, καὶ τοῦτον κατεκόντισεν. Ὅθεν ἐν οὐρανοῖς στεφηφορῶν, μάρτυς συναγάλλεται, καὶ ἡμῖν ἐξευμενίζεται, τὸν μόνον φιλάνθρωπον.

**Κοντάκιον Ὁσίου Ἀλυπίου Ἦχος Πλ. Δ. Ὡς ἀπαρχάς τῆς φύσεως**

Ὡς ἀρετῶν ὑπόθεσιν, καὶ ἀσκητῶν καλώπισμα, ἡ Ἐκκλησία δοξάζει σε σήμερον, καὶ ἀνυμνεῖσε Ἀλύπιε, τοῖς εὐχαῖς σου παράσχου, τοῖς τιμῶσιν ἐκ πόθου τὰς ἀριστείας σου, καὶ τὰ παλαίσματα, τῶν δεινῶν ἐγκλημάτων ἐκλύτρωσιν ὡς ἐπώνυμος.

**Κοντάκιον Ὁσίου Νίκωνος Ἦχ Πλ Β' Τὴν ὑπὲρ ἡμῶν.**

Τὴν ἀγγελικὴν μιμούμενος πολιτείαν, κόσμου τὰ τερπνά, ὡς σκύβαλα ἐλογίσω, μετανοίας τὴν τρίβον δεικνύων ἡμῖν θεοφόρε Νίκων ὅσιε διὰ τοῦτο σὲ γεραίρωμεν, ἐκτελοῦντες νῦν τὴν μνήμην σου, ὑπάρχεις γάρ, ἀληθῶς, ἰαμάτων πηγή.

**Ὁσίου Στυλιανοῦ Ἦχ Δ'. Ἐπεφάνης σήμερον.**

Ἐν τῇ μνήμῃ σήμερον, τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες, ἐκδυσωποῦμεν οἱ πιστοί, Στιλιανὲ Ὁσιώτατε, παρὰ Κυρίου, εὑρεῖν ἡμεῖς ἔλεος,

**Κοντάκιον Ἁγ Γεωργίου Ἦχος Γ.' Ἡ Παρθένος σήμερον.**

Ὦ, ἀρνίον ἄκακον πρὸς τὴν σφαγὴν ἠκολούθεις, τὸν αὐχένα ἐκλίνας, ἐθελουσίως τῷ ξίφει. Ἄνωθεν ὁ στεφοδότης στέφει τὴν Κάραν, πλήθη δὲ Κυδωνιέων λαμπροφοροῦντες, ἐκτελοῦσι τὴν σὴν μνήμην, Χιοπολῖτα γενναῖε Γεώργιε.

**Καὶ Προεόρτιον Ἦχος Γ'.**

Ἡ Παρθένος Δέσποινα τὸν πρoαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται ἀποτεκεῖν ἀποῤῥήτως χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνιον Θεόν.

**Μεγαλυνάρια.**

Μέγιστος ὑπάρχων ἡμῶν φρουρὸς, φύλαξ τε τῶν παίδων, ἀντιλήπτωρ καὶ πρεσβεύτης, ἐν κινδύνοις ῥύστης, λοιμοῦ τε καθαιρέτης, Στυλιανὲ τρισμάκαρ, διὸ τιμῶμέν σε.

Ἐνδόξως, ἐν μάρτυσιν ὁ κλεινὸς, Γεώργιος ὤφθη τοῖς ἀρχαίοις, σὺ δ' ἐν τοῖς νῦν Γεώργιε νέε,, ὠμώνυμε ἐκείνῳ, καὶ σύσκηνε, διὸ σὲ τιμῶμεν ἅπαντες.

**Εὐχὴ εἰς τὸν Κύριον.**

Ἐπουράνιε καὶ ἀναμάρτητε Βασιλεῦ, ποιητὰ Οὐρανοῦ καὶ γῆς, Κύριε Ἰησοῦ Χριστὲ Υἱέ καὶ Λόγε τοῦΠροκνάρχου Πατρὸς,ὁ σαρκωθεὶς ἐκ τῆς Πανάγνου σου Μητρὸς καὶ τεχθεὶς διὰ τὴν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους, ὁ σταυρωθεὶς καὶ Ταφεὶς καὶ Ἀναστὰς ἐν δόξῃ, ἵνα ἡμᾶς ἐλευθέρωσιν ἐκ τῆς δουλείας του διαβόλου συγχώρησον ἡμᾶς μετανοοῦντας στερέωσιν τὸ πλάσμα σου εἰς τὸ Ἅγιον σου θέλημα,εἰρήνευσιν τὰ ἔθνη, καὶ τὸν λαὸν σου, τῇ ἀηττήτῳ σου δυνάμει, φώτησον μας τὸν νοῦν καὶ διάνοιαν, ἵνα σὲ γνωρίσωμεν ὅτι σὺ εἶ ὁ ἀληθινὸς Θεὸς, καὶ ἐξουσιαστὴς τοῦ σύμπαντος, διαφύλαξόν μας ἀπὸ πάσης νόσου καὶ λοιμικῆς ἀσθενείας,προστάτευσον τὰς χήρας ὀρφανὰ καὶ ἀναπήρους πάσχοντας,πάντες γὰρ ἡμάρτιμεν, ἀλλ' εἰς τὸ Ἅγιόν σου ὄνομα καταφεύγομεν, ἐπικαλούμενοι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν μας, ἵνα καὶ διὰ τῶν πρεσβειῶν τῆς πανάγνου σου Μητρός, τῶν Ἀρχαγγελικῶν Δυνάμεων, τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν θεοκηρύκων σου Ἀποστέλων,τοῦ Ἱεράρχου καὶ Πατρὸς ἡμῶν Διονυσίου Αἰγινής,τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου, τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Μελετίου, τῶν Ἁγίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης (τοῦ Ἁγίου τῆς ἡμέρας καὶ πάντων σου τῶν Ἁγίων Ἀμήν.



*27 Νοεμβρίου τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἰακώβου*

**Ἀπολυτίκιον Ἦχος Γ'.**

Δεῦτε ἀκούσατε, καὶ ὄντως φρίξατε, πρᾶξιν ἀπάνθρωπον καὶ θηριόγνωμον, διαπραχθεῖσαν ἀσεβῶς, τυράννου τοῦ ὠμοτάτου, οὗτος κατεθέρισε καὶ τὰ μέλη κατέκοψεν, ἀρθρηδὸν ὁ δείλαιος, Ἰακώβου τοῦ μάρτυρος, ὑπὲρ Χριστοῦ ἀγάπης, διόπερ ἐν οὐρανοῖς ἐστεφανώθη.

**Κοντάκιον Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Πεισθεὶς τῇ καλῇ συζύγῳ καρτερόψυχε, καὶ τὺ φοβερὸν κριτήριον φοβούμενος, τῶν Περσῶν τὸ φρόνημα καὶ τὸν φόβον Ἰάκωβε κατέπτυσας, καὶ ἀνεδείχθης, μάρτυς θαυμαστὸς,, τὸ σῶμα ὡς κλῆμα συντεμνόμενος.

**Μεγαλυνάριον.**

Μέγαν σε προστάτην καὶ βοηθὸν, κεκτήμεθα μάρτυς πεπτωκότες ἐν πειρασμοῖς ῥῦσαι οὖν παμμάκαρ, ἡμᾶς τοὺς ἀναξίους, τοῖς ῥύθροις σῶν αἱμάτων θεῖε Ἰάκωβε.

**Ἐντολὴ Ε!**

Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖσοι γένηται, καὶ ἵνα μακροχρόνιος γένης ἐπὶ τῆς γῆς. Ἐν ὅλῃ καρδίᾳ σου, δόξασον πατέρα σου, καὶ μητρὸς ὀδύνης μὴ ἐπέλθης. Ἡ παρακοὴ τῶν τέκνων, πρὸς τοὺς γονεῖς, φέρει τὸν πρόωρον θάνατον. Εὐλογία πατρὸς, στηρίζει οἴκους τέκνων, Κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια οἴκων.

Ἀθανάσιος Πατριάρχης Κωνσταντινουπόλεως σελ. 460 Ὀκτωβρίου 28.

Ἔλαβον τὴν προστασίαν τῆς Ἐκκλησίας κράτιστε Βασιλεῦ, ἵνα διορθώσω τὰ σφάλματα τῶν ἀνθρώπων, διότι φοβερὰ τιμωρία μὲ προσπροσμένοι ὅταν σιωπῶ, καὶ δὲν ἐλέγχω τοὺς ἁμαρτίσαντας, διότι εἶναι ὑψηλὴ ἡ θέσις τῶν Κληρικῶν, κλήρῳ ἀνυποτάκτων καὶ λαὸς ἀπειθεῖ ἀποτάσσομαι, καὶ τῷ Θεῷ ὑποτάσσομαι, οὗτοι ἀντὶ νὰ μὲ εὐχαριστῶσι μὲ ἐμίσησαν, δέομαι τῷ πανηκτήρμονι Θεῷ νὰ κυβερνήσῃ τὴν Ἁγίαν του Ἐκκλησίαν, ἐν εἰρήνῃ ἀγάπῃ καὶ ὁμονοίᾳ.

Ἡ Ἐπιστολὴ αὕτη ἐδόθη εἰς τὸν Βασιλέα Ἰωάννην Κατακουζηνὸν γράφων ὁ Ἅγιος τὰς ὡραίας ταύνας συμβουλὰς νουθετῶν τοὺς συκοφάντας.»

***Οἱ θέλοντες εὐσεβῶς ζῆν, καταδιωχθήσονται.***

**Πολυέλεος. Εἰς Τὸν Ὅσιον Στυλιανὸν καὶ λοιποὺς Ὁσίους—Τῆς δεήσεως μου ἀλληλούϊα.**

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Ἀλληλούϊα

Ὁμοιώθην πελεκάνι ἐρημικῷ. »

Καὶ ἐγενήθην ὡσεὶ νυκτοκόραξ ἐν οἰκοπέδῳ. »

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. »

Ἐγεννήθην τὰ δακρυά μου ἐμοὶ ἄρτος, ἡμέρας καὶ νυκτός. »

Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας »

Καὶ ἡ σάρξ μου ἠλοιώθη δι' ἔλαιον.

Ὅτε σποδὸν ὡσεὶ ἄρτον ἔφαγον. »

Καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκύρνων. »

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου »

Ἐν δάκρυσί μου τὴν στρώμνην μου βρέξω »

Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου »

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ ἐκολήθην τὸ ὀστοῦν μου τῇ σαρκί μου. »



Ἔθου τὰ δάκρυά μου ἐνώπιον σου, ὡς καὶ ἐν τῇ ἐπαγγελία σου Ἀλληλούϊα

Διὰ τοὺς λόγους τῶν χειλέων σου, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληρούς. »

Ἐδίψασέ σε ἡ ψυχή μου, προσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. »

Ὅτι ἐκύκλωσαν μὲ κύνες πολλοί. »

Συναγωγὴ πονηρευομένων περιέσχον μου. »

Τὸ ἀγαλιαμά μου, λύτρωσέ με ἀπὸ τῶν κυκλωσάντων με »

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου. »

Ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμου »

Ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν. »

Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον »

Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου Κύριε. »

Ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα »

Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν με, ἐνεδυόμην Σάκκον. »

Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου »

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου »

Ἐξέλυπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με, ἐπὶ τὸν Θεόν μου. »

Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά με, ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.

Προωρόμην τὸν Κύριόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν ἵνα μὴ σαλεφθῶ.

Πάντα τὰ ἔθνη ἐκύκλωσαν με, καὶ τῷ ὀνόματα Κυρίου ὑμνηνάμην αὐτούς. Ἀλληλούϊα

Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον.

Καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Εὐλογητὸς ὁ θεὸς ὅς οὐκ ἔδωκεν ἡμᾶς εἰς θηρία τοῖς ὀδοῦσιν αὐτῶν.

Βέλος νηπίων ἐγεννήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσαι αὐτῶν. »

Ἐξομολογήσθωσάν σοι Κύριε πάντα τὰ ἔργα σου. »

Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. »

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. »

Καὶ γνῶτε ὅτι ἐθαυμάτωσε Κύριος τὸν Ὅσιον αὐτοῦ. »

Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τὸ τέλος. »

Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ Ὅσιοι αὐτοῦ. »

Ὅτε Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ. »

Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ »

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. »

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. »



Ψάλλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ Ἀλληλούϊα

Καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. »

**Δόξα πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι**

Τὸν πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀναμνήσωμεν, κράζοντες καὶ λέγοντες Παναγία τριὰς σῶσον πάντας ἡμᾶς.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν....**

Τὴν μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ, ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθέ· ἵνα σὲ δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

**Εὐχὴ εἰς τὴν Θεοτόκον**

Δέσποινα, πάντων Δέσποινα, καὶ πάντων ἀνωτέρα.
Καὶ πάντων ὑπερέχουσα τῶν ἄνω Στρατευμάτων.
Ἄνασσα, πάντων Ἄνασσα, Μητροπάρθενον κλέος.
Τὸ στήριγμα τῶν εὐσεβῶν, τὸ φῶς τῆς Οἰκουμένης.
Ἡ προστασία τῶν πιστῶν, ἡ Γέφυρα τοῦ κόσμου.
Τῶν Ἀποστόλων ἡ χαρὰ, καὶ τῶν Ἀγγέλων δόξα.
Τῶν Προφητῶν ἡ καλλονή, καὶ τῶν δικαίων πάντων.
Ὁσίων τὸ ἀγλάϊσμα, Ἁγίων ἡ ἐλπίδα.
Ὁ Πύργος ὁχρυσόπλοκος, ἡ πόλις ἡ Ἁγία.
Θρόνε ἡλιοστάλακτε, καθέδρα Βασιλέως.
Ἄσπιλε Παναμώμητε, Ἄφθορε Παναγία
Ἀπηλπισμένων ἡ ἐλπὶς, καὶ θάλασσα πλεόντων.
Ἀδικουμένων βοηθὸς, καὶ τῶν Ὁσίων πάντων.
Αἰνοῦμεν, εὐλογοῦμεν σε καὶ πάντες προσκυνοῦμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΔΩΡΗΤΟΡΗΣ ...

Ἔκτεινον χεῖρα κραταιάν, καὶ φύλαξον τὸν κόσμον.
Τοὺς Ἱερεῖς εὐλόγησον, τοὺς σὲ ἱερουργοῦντας
Τοὺς μοναχοὺς ἐλέησον, τοὺς σὲ ὑμνολογοῦντας.
Τοὺς εὐσεβεῖς Χριστιανούς, τοὺς σὲ παρακαλοῦντας.
Τοὺς ἀσθενεῖς θεράπευσον, ἐν ὥρᾳ τοῦ θανάτου.
Τοὺς βασιλεῖς εἰρήνευσον τοὺς ἐν τῷ παλατίῳ.
Τοίνυν ἡμᾶς ἀξίωσον, ἰδεῖν τὴν Βασιλείαν.
Τὴν Βασιλείαν Οὐρανῶν, καὶ θύραν Παραδείσου.
Ἄσωμεν πάντες ἄσωμεν, ὕμνον τῇ Θεοτόκῳ.
Βάτον τὴν ἀκατάφλεκτον, Στάμνον τὴν Παναγίαν.
Τὸν γλυκερὸν Παράδεισον, τὴν ἄσπιλον Παρθένον.
Ὑπὸ Δαυῒδ καὶ Ἰεσσαί, Ἰωακεὶμ καὶ Ἄννης.
Ἐφάνη νέος Οὐρανός, καὶ νέα Βασιλεία.
Καὶ τριφεγγὴς Ἀνατολή, καὶ θύρα Παραδείσου.
Τὴν Γέννησίν σου προσκυνῶ, τὸν τόκον σου δοξάζω.
Καὶ Σὲ Ἁγία Δέσποινα, ὑμνῶ καὶ προσκυνῶ σε.
Ψάλλε Δαυῒδ ψάλλε Μωϋσῆ, ψάλλατε ὦ Προφῆται.
Ψάλλε καὶ σὺ Ἰάκωβε, καὶ ἀδελφὲ Κυρίου.
Ψάλλε καὶ σὺ Παράδεισε, μετὰ τῶν Ἀρχαγγέλων.
Ὅτι ἐφάνη σήμερον, ἡ σοῦ Ἁγιωτέρα.
Καὶ Πλατυτέρα Οὐρανῶν, ὑπερκαθαρωτέρα.
Ὅταν καθήσῃ ὁ Κριτής, κρινεῖν τὴν Οἰκουμένην.
Τότε ἡμᾶς βοήθησον, Δέσποινα Θεοτόκε.

Βασίλισσα καὶ Δέσποινα Οὐρανοῦ καὶ γῆς Κυρία...
Ὅπου φροντίζεις πάντοτε ὅλων τὴν σωτηρίαι...
Φρόντισον καὶ εἰς ἐμὲ τὸν δοῦλόν σου Γεώργιον Ἱερέα, ἵνα μὲ σώσῃς Δέσποινα, τῆς ψυχικῆς μου τιμωρίας!
Καὶ δοξασθῇ τὸ Ἅγιόν σου ὄνομα πάντοτε, καὶ εἰς πάντας τοὺς αἰῶνας.

Ἀθῆναι τῇ 16 Νοεμβρίου 1919 **Γ. Λ. Βουτέρης.** Ἱερεὺς.
Προσκυνητὴς

ΙΕΡΑ ΜΟΝΗ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΙΖΑ ΠΑΠΑ...

## **Αἱ 10 Ἐντολαὶ, ὡς καὶ αἱ 10 Πληγαὶ τοῦ Φαραώ.**

**1. καὶ Μ! Ἐντολή.** Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ τὸν πλησιόν σου ὡς σεαυτόν: Τὸ ὕδωρ ἔγεινεν αἷμα ὅσοι ἀρνοῦντε τὸν Θεόν.

**2** Μὴ ὁμώσης ἐπὶ ματαίῳ τὸ ὑψηλὸν ὄνομα τοῦ Θεοῦ, οὔτε ἐν τῷ οὐρανῷ οὔτε ἐν τῇ γῇ. Ὁ οὐρανὸς θρόνος μου, ἡ δὲγῆ ὑποπόδιων τῶν ποδῶν μου. Βάτραχοι καὶ σκνίπες, θέλει στείλη ὁ Κύριος, πρὸς τιμωρίαν τῶν ὀνμιούντων τὸ ὄνομα τοῦ Θεοῦ.

**3** Ἕξ ἡμέραι, εἰσὶν ἐν αἷς δὲ ἐργάζεσθαι, καὶ μὴ τῇ ἡμέρα τῆς Κυριακῆς. Οἱ παραβαίνοντες τὴν ἐντολὴν ταύτην, θέλουν λάβη μεγάλην θεϊκὴν καταστροφήν.

**4** Τίμα καὶ σέβου τοὺς γονεῖς σου. Ὁ κακολογῶν τοὺς γονεῖς του, θανάτω τελευτήτῳ, θέλει στείλη ὁ Θεὸς Σκυλόμηγες καὶ Θηρία νὰ σὲ φάγουν.

**5** Μὴ φονεύσεις. Θὰ σοῦ ζητήση ὁ Κύριος, ἐν ἡμέρα κρίσεως τὴν ψυχὴν ὅπου ἐθανάτωσες, καὶ ὑστέρησες ζωὴν ἐν τῷ κόσμῳ Πληγὴ τοῦ θυμοῦ εἶνε ὁ φόνος.

**6** Μὴ μοιχεύσεις. Μοιχοὺς καὶ μοιχαλίδας κρίνει ὁ Θεός. Εἶναι ὡς ἄλογα ζῷα, ἐκεῖνοι ὅπου μιαίνουν τὴν σάρκα τους εἰς διαφθοράν.

**7** Μὴ κλέψης. Ὅτι δὲν θέλεις νὰ σοῦ κάμουν, δὲν πρέπει καὶ σὺ νὰ κάμης εἰς ἄλλον. Πῦρ καὶ χάλαζα, μέλλεις νὰ λάβῃς διὰ τὰς ἀδικίας ὅπου κάμης. Ὁ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

**8** Μὴ ψευδομαρτυρήσης. Ὁ ὅρκος δὲν ἀποβλέπει ποτὲ εἰς καλὸν, πάντοτε εἰς ζημίαν εἶναι τοῦ ἀνθρώπου. Ὁ κατήγορος καὶ ἀπαταιὼν, βδελυκτὸς παρὰ τῷ Θεῷ.

**9** Μὴν ἐπιθυμήσης τὴν γυναῖκα τοῦ πλησίον σου. Ὁ σατανικὸς ἔρως, ἔκαμε τοὺς ἀνθρώπους χειροτέρους ἀπὸ τὰ ἄλογα ζῷα, καὶ λαμβάνουν ὡς βραβεῖον τὴν αἰώνιον κόλασιν.

**10** Μὴν ἐπιθυμήσης ἐν τῷ κόσμῳ μῆτε τὴν οἰκίαν τοῦ ἀδελφοῦ σου μῆτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὴν περιουσίαν αὐτοῦ, διότι ἡ ἐπιθυμία γεννᾷ τὴν πλεονεξίαν. Θάνατος τῶν πρωτοτόκων κλαυθμὸς καὶ ὀδυρμός.

## **Αἱ 10 ἐντολαί.**

*1.* Ὁ Ἥλιος *2.* ἡ Σελήνη, *3.* τὰ Ἄστρα, *4.* τὸ Φῶς, *5.* τὰ Νέφη, *6.* τὸ Πνεῦμα, *7.* τὸ Ὕδωρ, *8.* ὁ Ἀὴρ, *9.* τὸ Σκότος, *10* τὸ Πῦρ.

Ἀθῆναι 10 Ὀκτωβρίου 1908. **Γεώργιος Α. Βουτέρης** Ἱερεύς.

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΤΥΛΙΑΝΟΥ
# ΤΟΥ ΠΑΦΛΑΓΩΝΟΣ




ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΔΗΜΗΤΡΙΟΥ Μ. ΔΕΛΗ
ΟΔΟΣ ΜΙΛΤΙΑΔΟΥ ΑΡΙΘ. 1
1919

**25 Νοεμβρίου. Τῆς Ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης Ἀπολυτίκιον Ἦχ. Πλ΄. Α τὸν συνάναρχον**

Τὴν πανεύφημον νύμφην, Χριστοῦ ὑμνήσωμεν, Αἰκατερίνην τὴν θείαν, καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν· ὅτι ἐφήμωσε λαμπρᾶς, τοὺς κόμψους τῶν ἀσεβῶν, τοῦ Πνεύματος τῇ μαχαίρᾳ καὶ νῦν ὡς μάρτυς, στεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

**Κοντάκιον Ἦχος Β΄.**

Χορείαν σεπτὴν ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν γεραίροντες τὴν πάνσοφον, Αἰκατερίνην αὕτη γὰρ ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε καὶ τὸν ὄφιν ἐπάτησε, ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

**Μεγαλυνάριον**

Ἔχει τὸ σὸν πνεῦμα ὁ Οὐρανός, γῆ δὲ σοῦ τὸ σῶμα ἐν μονῇ τοῦ Ὄρους Σινᾶ αἷμα μαρτυρίου ἡ Ἀλεξάνδρου πόλις, σοφὴ Αἰκατερίνη μάρτυς Πολύαθλε.

**Κοινωνικὸν**

Ποτήριον σωτηρίου χρίζομεν, καὶ τὸ ὄνομα Κυρίου ἔτει καλέσομαι. Ἀλληλούϊα.

**Εἰς τὸ ὄνομα Κυρίου κτλ. Ἀλληλούϊα**

Ἀργία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου ἀπόδοσις τῆς Εἰσόδου τῆς Ἑορτῆς.

# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΤΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΦΛΑΓΩΝΟΣ

**Ψαλλομένη τῇ ΚΣΤ΄ Νοεμβρίου**

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ κύριε ἐκέκραξα ἱστῶμεν στίχους ΣΤ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμια.

**Ἦχος Πλ. Δ΄.**

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

Τί σε νῦν σοφὲ ὀνομάσωμεν, μοναστῶν ὑπογραμμμόν, καὶ ἰαμάτων αὐτουργόν, ἐγκρατείας ταῖς πληγαῖς, πάθη μαστίξαντα ψυχῆς· πολίτην τῶν Ἀγγέλων καὶ συνόμιλον τῆς ἄνω μητροπόλεως οἰκήτορα· τῶν ἀρετῶν ἐνδιαίτημα, καὶ Πνεύματος καταγώγιον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσωμεν Ἅγιε, ποταμὸν τῆς νοητῆς, ἐκπορευόμενον Ἐδέμ· ὀχετὸν τῶν τοῦ Θεοῦ χορηγουμένων ἀγαθῶν, πλημμύραν τῶν θαυμάτων ἀνεξάντλητον, ἰατῆρα τῶν νηπίων ἑτοιμότατον, τῆς οἰκουμένης τὸ καύχημα, Στυλιανὲ τὸ ὑπέρλαμπρον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ ὀνομάσωμεν ἔνδοξε, γεωργὸν τῶν ἀνθρωπίνων παμμακάριστε φυτῶν· αὐξητὴν τῶν παιδαρίων τὸν ταχύτατον σαφῶς, νομίμως θεοσδότων ἐμπειρότατον, δογμάτων θεοπνεύστων τὸν διδάσκαλον, καὶ παιδευτὴν ἱκανώτατον, Στυλιανὲ Παμμακάριστε, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Ἕτερα στιχηρὰ προσόμοια ἦχος δ'.** Ὁ ἐξ Ὑψίστου κληθείς.

Στιχ. Ὅτι παρὰ τῷ Κυρίῳ καὶ πολλὴ παρ' αὐτῷ ἡ λύτρωσις.

Ὁ ἐκ μητρώας ἡγιασμένος μήτρας, τοῦ Θείου ἐγένετο πνεύματος σκήνωμα, Στυλιανὸς ὁ μακάριος· τὸν γὰρ προσόντα, πλοῦτον σκορπίσας, καλῶς τοῖς πένησιν· εὗρε τὸν οὐράνιον καὶ ἀδαπάνητον, ἐν τοῖς ἁγίων σκηνώμασι, συναγελάζων δήμοις Ὁσίων καὶ εὐφραινόμενος, καὶ ἱκετεύων τὸν φιλάνθρωπον, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, ἐν τῇ θείᾳ του μνήμῃ καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στιχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη κλπ·

Ὁ τῆς ἐρήμου λαμπτὴρ καὶ πολυοῦχος, ὅτε ταύτην ᾤκησε ὑπέδυ σπήλαιον, ὑπὸ Ἀγγέλου δεχόμενος, ἄρτον τὸν θεῖον, καὶ χάριν εἴληφε τοῦ χαρίζεσθαι, παθῶν δὲ ποικίλων τε ἰατὴρ γέγονε, τοῖς ἀσθενοῦσιν ἀφθόνως πᾶσι τὴν ἴασιν παρεχόμενος, καὶ εὐτεκνίων ἀτεκνόστης, καὶ ἡμῖν ἀενάως πρὸς Κύριον ἱκετεύει, τοῦ σῶσαι καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

(Στιχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἡ ἀλήθεια αὐτοῦ μένει).

Τίς ἐξαιτῶν σου δυνήσεται τὰ πλήθη θαυμάτων, πανόλβιε, ὅπερ ἐτέλεσας Στυλιανὲ παμμακάριστε, ἐν βίῳ ἔτι καὶ μετὰ σώματος πέλων, ὅσιε μόνον γὰρ σὸν ὄνομα, ἐπικαλούμεναι, καὶ τὴν ἁγίαν σου Εἰκόνα χρωματουργοῦσαι, μητέρες μάκαρ καὶ ἀτεκνοῦσαι πρίν, εἰς εὐτεκνίαν μετεβάλλοντο, ἀλλὰ πάτερ καὶ νῦν καθικέτευε, τὸν Σωτῆρα δυσώπει καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος Δ'**

Δεῦτε πιστοί, τὸν θαυματουργὸν ὑμνῳδίαις εὐφημήσωμεν, δ' οὗ ἀπαλλαγὴν τῶν πόνων, οἱ ἐν κινδύνοις ὑπάρχοντες εὑρίσκομεν. Δεῦτε λαοί, Στυλιανὸν τὸν ἔνδοξον ἀπαύστως τιμήσωμεν· χαίροις λέγοντες, ὁ ἐκ μήτρας ἁγιασθείς, καὶ τῶν σῶν γεννητόρων τὴν ἀτεκνίαν λύσας, ὡς Σαμουὴλ καὶ Ἱερεμίας· χαίροις ὁ στερρὸς τῆς ἀσκήσεως φερώνυμος στύλος· χαίροις τοῦ Παναγίου Πνεύματος καθαρὸν οἰκητήριον, χαί-



ροις ὁ τῶν ἀνιάτων παθῶν ἰατὴρ ὁ ταχύτατος· καὶ τῶν πονηρῶν πνευμάτων διώκτης ἑτοιμότατος· τῶν δὲ νεογνῶν παίδων φύλαξ ὁ σωτήριος· τοὺς προσκυνοῦντας οὖν εἰκόνα σου τὴν ἁγίαν· καὶ σὲ ἑορτάζοντας πρόφθασον, καὶ κινδύνων ἐξάρπασον, πρεσβεύοντας ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτόκιον. Ἦχος Β'.**

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης. Ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως, Χριστὸς ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

## ΑΝΑΓΝΩΣΜΑΤΑ

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. δ' 7—16).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ. γ'.—10).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε. 16—24 στ΄ 1—3.)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρης ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσαστε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λυτὴν τοῦ Ναοῦ τῆς Μεταμορφώσεως.

Ὁ φωτί σου ἅπασαν τὴν Οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμον λυτροῦσαι ἐκ παραβάσεως· διὸ βοῶμεν σοι. Εὔσπλαχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

**Τοῦ Ἁγίου. Ἦχος Α΄.**

Ὁ φωστὴρ ἀσκητῶν, Στυλιανὸς σήμερον, τῶν μοναστῶν ταις . χορείαις πνευματικῶς συγκαλεῖται, ὁμοφώνως ἀνυμέλψας σὺν Ἀγγέλοις Θεῷ ὑμνῳδίαν τὴν τρισάγιον· ὡς γὰρ Ἄγγελος σαρκοφόρος, διαπρέψας, ἐν ἀσκήματι καὶ βίῳ Ἀγγελικῷ, τοὺς μὲν ἔχει πανηγυρίζοντας, ὡς αὐτῶν ὑποτύπωσις, τοὺς δὲ συνευφραινομένους, ἐν τῇ μνήμῃ αὐτοῦ, ὡς τούτων ὁμόσκηνος· διὸ καὶ ἡμεῖς ἑορτάζοντες αὐτὸν ἐτησίως εὐφημήσωμεν, ὡς πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

**Ἦχος Β΄.**

Ὅσιε Πάτερ ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον τοῦ



Ἁγίου Πνεύματος καὶ παρ' αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν θεραπεύεις τὴν τῶν ποδῶν πικρὰν ἀσθένειαν, καὶ διασώζεις ἅπαντας τοὺς προστρέχοντας ἐν τῷ σεπτῷ καὶ θείῳ ναῷ σου, καὶ τιμῶντας τὴν σεβάσμιον μνήμην σου,. ἀπὸ πάσης ἀνάγκης πρεσβεύων πρὸς Κύριον ὑπὲρ τῶν ψυχῶν ὑμῶν.

**Ἦχος Γ΄.**

Στυλιανὲ ὅσιε στερροτάτης ἀσκήσεως, τὴν μυστικὴν καὶ ἔμψυχον διατριβήν, ὡς ἀΰλοις ἀναπαυόμενος ἐτέλεσας· τοῖς ἐρημικωτέροις γὰρ συνάψας σεαυτὸν πνευματικῶς, τῶν ἰαμάτων τὰς ἐνεργείας πλουσίως ἀπέλαβες· διὸ ἡμᾶς τοὺς σὲ δοξολογοῦντες πρόφθασον, ἐξελοῦ ἡμᾶς πάσης καταιγίδος τῶν παθῶν, καὶ Χριστῷ τῷ Θεῷ πρέσβευε ὑπὲρ τῶν ψυχῶν.

**Δόξα Ἦχος Δ΄.**

Ἔλαμψαν τὰ καλά σου ἔργα, ὡς ἥλιος ἐπὶ τῆς γῆς καὶ ἐν οὐρανῷ Χριστῷ θεράπων Στυλιανέ, ἑτοίμως γὰρ ἡμᾶς προφθάνεις· τοῖς θαύμασι ρυόμενος τῶν συνεχόντων κακῶν· διὸ ἱκέτευε ὅσιε Πάτερ ἐν τῇ μνήμῃ σου Θεοφόρε, ὁ τῶν νηπίων φύλαξ σωτήριος δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν Θεοτόκιον Ἦχος Δ΄.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θετόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Ἀπόστιχα Ἦχος Α΄.**

Τῶν οὐρανίων ταγμάτων

Ἀπὸ μητρῴων σπαργάνων ἀφιερωθεὶς τῷ Θεῷ, ἀκτῖνας τῶν θαυμάτων ἀνεδέξω πλουσίως, ἐκ Πνεύματος Ἁγίου ὅθεν πιστῶς, ἀνυμνοῦντες αἰτοῦμέν σε, καταπέμψαι ἀφθόνως Στυλιανέ, τὴν σὴν χάριν τὴν σωτήριον,

Στιχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τὰς οὐρανίας σκηνώσεις ἐν εὐφροσύνῃ οἰκῶν, καὶ σὺν Ἀγγέλοις

Πάτερ, τῷ θρόνῳ τοῦ Κυρίου, παριστάμενος Πάτερ Στυλιανέ, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου, τῶν νοσημάτων τὴν λύσιν καὶ τῶν κακῶν δωρηθῆναι καθικέτευε.

Στιχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Θεοφεγγῆ σε Φωστῆρα Πάτερ ἐπέγνωμεν, ταῖς νοηταῖς ἀκτῖσι, καταυγάζοντα κόσμον, καὶ σκότος ἐκμειοῦντα τῆς πονηρᾶς, ἀσθενείας καὶ θλίψεως, Στυλιανὲ τὴν σὴν μνήμην ὅθεν πιστῶς, ἑορτάζομεν τιμῶντές σε.

**Δόξα. Ἦχος Πλ. Β'.**

Ὅσιε Πάτερ θαυματουργὲ Στυλιανὲ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας· τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα· ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παρρησίαν οὖν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτόκιον. Ἦχος Πλ. Β'.**

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα μετὰ τοῦ σοῦ ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον Ἁγ. Στυλιανοῦ. Ἦχος Γ'.**

Στήλη ἔμψυχος τῆς ἐγκρατείας, στύλος ἄσειστος τῆς Ἐκκλησίας, Στυλιανὲ ἀνεδείχθης μακάριε· τὸν γὰρ σὸν πλοῦτον σκορπίσας τοῖς πένησιν, ἐν οὐρανοῖς ἐκομίσω τὸν ἄφθαρτον· καὶ ἐγκρατείᾳ καὶ πόνοις πανόλβιε, χάριν εἴληφας, νηπίων προστάτης γενόμενος, καὶ φύλαξ νεογνῶν ἀπροσμάχητος.

**Δόξα. Καὶ νῦν Θεοτόκιον.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε. Ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱὸς καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.



Ἀπόλυσις τοῦ Ἑσπερινοῦ.

**Εἰς τὸν Ὄρθρον. Κάθισμα. Ἦχος Α'.**

Τὸν τάφον σου Σωτὴρ.

Τὸν βίον εὐσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν Πνεύματος ὤφθης, φωτίζων τοὺς πίστει σοι, προσιόντας μακάριε, ὅθεν αἴτησε τὸν σὲ Δεσπότην φωτίσαι τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε πόθῳ, Στυλιανὲ Πατὴρ ἡμῶν.

**Δόξα καὶ νῦν**

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

**Μετὰ τὴν Β' Στιχ. Ἦχος Πλ. Α'.**

Τὸν συνάναρχον λόγον

Τὰς φροντίδας τοῦ βίου ἀπαρνησάμενος, καὶ Ἀγγέλων τὸν βίον ἀναλαβόμενος, ἐγκρατείᾳ τὴν ψυχὴν κατελάμπρυνας, καὶ θαυμάτων ἐκ Θεοῦ, χάριν ἐδέξω δαψιλῶς Στυλιανὲ Θεοφόρε, ὑπὲρ ἡμῶν ἱκετεύων τῶν εὐσεβῶς ἀνευφημούντων σε.

**Δόξα καὶ νῦν**

Χαῖρε Ἅγιον Ὄρος καὶ θεοβάδιστον· χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε· χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν· χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Μετὰ τὸν Πολυέλαιον. Ἦχος Α'.**

Ἐπεφάνη σήμερον

Τοῦ ὁσίου ἔλαμψεν ἡ θεία μνήμη, συγκαλεῖ γὰρ ἅπαντας τοὺς εὐσεβῶς προσιόντας, Στυλιανὸς ὁ Πατὴρ ἡμῶν, ποιμὴν ὁ μέγας καὶ θαυμαστὸς ἀσκητής.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Ἡ θερμὴ ἀντίληψις τῶν ἐν ἀνάγκαις, σὺ ὑπάρχεις Δέσποινα, εὐλογημένη Μαριάμ· διὸ τοὺς δούλους σου φύλαττε, ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων.

**Τὸ Α΄. Ἀντίφωνον. Τοῦ Δ΄ Ἤχου.**

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. Δίς.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμένοι. Δίς.

**Δόξα.**

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν.**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

***Εὐαγγέλιον τοῦ ὄρθρου.***

**Ἐκ τοῦ κατὰ Ματθαῖον (ια΄ 27—30).**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει, τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.



**Μετὰ τὸ Ν.**

Ταῖς σοῦ ὁσίου πρεσβείαις ἐλεῆμων, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεῆμων ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Ἰδιόμελον. Ἦχος Β΄.**

Ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος Θεός, τὴν ἡγιασμένην σου ψυχὴν καθαρὸν εὑρὼν καταγώγιον, ἐν αὐτῇ κατῴκησε, καὶ θείων χαρίτων αὐτὴν ἐνέπλησε· δι' ὧν φωταγωγεῖς τοὺς ὑμνοῦντάς σε θαυματουργὲ Στυλιανὲ Μακάριε.

## ΚΑΝΩΝ

**Ὠδὴ Α΄. Ἦχος Δ΄.**

Τῷ φέγγει τῆς χάριτος, καταυγαζόμενος ὅσιε, τοὺς πίστει τὴν μνήμην σου πανηγυρίζοντας, φωταγώγησον καὶ σκότους ἁμαρτίας, σῶσον ταῖς πρεσβείαις σου καὶ ἀπολύτρωσαι.

Ὁδὸν τὴν εἰσάγουσαν, ἀνεπιστρόφως διώδευσας, πρὸς πόλιν οὐράνιον, μακαριώτατε· τὸ γὰρ Ἅγιον ὡδήγησέ σε Πνεῦμα, ἐπαναπαυόμενον ἐν τῇ καρδίᾳ σου.

Ὑψοῦσαν ταπείνωσιν, Στυλιανὲ Πάτερ ἔσχηκας· διό σου δεόμεθα οἴκτειρον Ἅγιε, τὴν ταπείνωσιν ἡμῶν καὶ τὰς ὀδύνας, ἐπικούφισον τῶν καρδιῶν ἡμῶν.

**Θεοτοκίον.**

Πεσόντων ἀνάκλησις, καὶ ἱσταμένων βεβαίωσις ὑπάρχει πανάμωμε, ὅθεν σὲ δέομαι, συμπτωθέντα μου, τὸν νοῦν τῇ ἁμαρτίᾳ ἀνόρθωσον Δέσποινα ὅπως δοξάσω σε,

**Ὠδὴ Γ΄**

Ῥεόντων τὰ μέλλοντα ἠλλάξω, ἐμφρόνως τὸν σὸν ἀναλαβὼν, Σταυρὸν μακαριώτατε, τὰ πάθη ἐκνικήσας σου, καὶ ἐν ἀβάτοις ὄρεσιν, ὑποχωρῶν διετέλεσας.

Ὁδόν σοι τὴν λίαν ποθουμένην, Πατέρων ὑπέδειξας σοφέ, ἣν εὕρῃς

ΠΑΝΑΓΙΩΤΗΣ ΔΗΜΗΤΡΙΟΥ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ... ΒΙΒΛΙΟΘΗΚΗ

χρόνοις πλείοσιν, ἐγκεκριμένην ὄρεξι, προφητικῷ χαρίσματι, λελαμπρυσμένος πανόλβιε.

Δονούμενοι πάθεσι ποικίλοις, ἐν πίστει προστρέχομεν τῇ σῇ σκέπῃ μακαριώτατε, πρεσβείαις σου πάντας ὑμᾶς ἐπίσκεψαι Μακάριε, ἐκδυσωπῶν τὸν φιλάνθρωπον.

**Θεοτόκιον**

Ρανίσιν ἐλέους σου Παρθένε, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, ἁμαρτημάτων Πάναγνε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία τοῦ Πνεύματος.

**Κάθισ. Ἦχος Πλ. Δ΄.**

Τὴν Σοφίαν καὶ λόγον

Τὸν Σταυρὸν τοῦ Κυρίου ἄρας σοφέ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νῦν οὐχ' ὑπέστρεψας ἐν τῷ κόσμῳ Θεόσοφε ἐγκρατείᾳ καὶ πόνοις, τὰ πάθη ἐνέκρωσας· καὶ ναὸν ἡτοίμασας σαυτὸν τῷ Κυρίῳ σου, ὅθεν χαρισμάτων ἀμοιβὰς ἐκομίσω, ἴασθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα Στυλιανὲ Μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα καὶ νῦν Θεοτόκιον**

Τὴν οὐράνιον πύλην καὶ κιβωτὸν τὸ πανάγιον ὄρος τὴν φωταυγῆ νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλειον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

**Ὠδὴ Δ΄**

Ὄρη ὑψηλότατα καταλαβών, κορυφὰς δαιμόνων ὑψούμενος ἐν ταπεινώσει ἐταπείνωσας σοφέ, καὶ κατ' αὐτῶν ἠρίστευσας, κλέος ἀσκητῶν καὶ ἑδραίωμα.

Μάχαιραν ὡς δίστομον, τὸν τοῦ Χριστοῦ φόβον ὁπλισάμενος, δράκοντα τὸν ἀποστάτην καταβάλλεις νοητῶς, καὶ αἰσθητῶς μακάριε φύλαξ παιδαρίων ταχύτατος.



Ὅλως θείῳ Πνεύματι πυρακτωθείς, Πάτερ τὰ δεινὰ ἐκαρτέρησας, ἔτεσι πλείστοις ταῖς ἐρήμοις προσχωρῶν καὶ ἐκζητῶν τὸν Κύριον, χάριτί σε θείᾳ συνθάπτοντα.

**Θεοτόκιον**

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν, πίστει ἱκετεύω καὶ δέομαι εὐλογημένη ἵλεών μοι τὸν κριτὴν τὸν σὸν Υἱὸν, ἀπέργασαι, ὅπως κατὰ χρέος δοξάζωμεν.

**Ὠδὴ Ε΄**

Ἐβάδισας ὅσιε, στενὴν καὶ τεθλιμμένην ὁδόν, θείαις ἀναβάσεσι καρδίας, καὶ θεωρίαις ἐμπλατυνόμενος, καὶ θέσει θεούμενος σαφῶς· Πόλιν τὸν οὐράνιον κατοικῶν Πάτερ ὅσιε.

Τὸ ὄμμα καθάραντι, τῆς διανοίας ὅσιε, χάρτι ἐδόθη προφητείας, ὡς ἐνεστῶτα λέγειν τὰμέλλοντα,βλέποντα τὰ πόρρωθεν ἐγγὺς ὦ Στυλιανὲ μακάριε τῇ τοῦ πνεύματος χάριτι.

Ὀδύνης με λύτρωσαι, ἁμαρτιῶν καὶ θλίψεων, παῦσον τῆς καρδίας μου τὸν πόνον καὶ τῶν πταισμάτων τὴν λύσιν βράβευσον, τὸν ἀγαθοδότην καὶ Θεόν, ἔχων ὑπακούοντα, Στυλιανὲ μακάριε.

**Θεοτόκιον**

Νοός μου θεράπευσον, τὰς ἐκτροπὰς Πανάχραντε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ραθυμίας σκότος ἀπέλασον, ὅπως ἐν αἰνέσει σε ὕμνῳ τὴν ἀειμακάριστον, Θεοτόκε πανύμνητε.

**Ὠδὴ στ΄.**

Μαράνας πάθη τοῦ σώματος, ὡς δένδρον καθωράθης ὑψούμενον καρποὺς τὰ θαύματα καὶ τὰ σεπτά σου διδάγματα, ἱερωτάτως φέρων, Στυλιανὲ ὅσιε. Δίς.

Μυρίοις πόνοις ὡμίλησας, τὸ σῶμα ἀσθενῶς διακείμενος, Πάτερ πανόλβιε, ὅθεν ἐν πίστει κράζομεν, τὰς ἀλγηδόνας παῦσον ἡμῶν, τῶν δούλων σου.

**Θεοτόκιον**

Ἡ μόνη πάντων βοηθεία, βοήθησον ἡμῖν κινδυνεύουσι καὶ χεῖρα ὄρεξιν, καὶ πρὸς λιμένα ἐμβίβασον, τῆς σωτηρίας Κόρη θεοχαρίτωτε.

**Κοντάκιον Ἦχος Δ΄.**

Ἐπεφάνη σήμερον

Ἐν τῇ μνήμῃ σήμερον τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες, ἐκδυσω,

ποῦμεν οἱ πιστοί, Στυλιανὲ ὁσιώτατε, παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

## Ὁ Οἶκος

Ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης διεξῆλθεν ὁ φθόγγος τῶν τερπνῶν ἀρετῶν καὶ ἐνθέων ἀγώνων σου ὅσιε Πάτερ, νέος γὰρ ὑπάρχων τῇ ἡλικίᾳ ἐν ἐρήμοις συνδιαιτᾶσθαι ἐπόθησας· ὕμνους τῷ Χριστῷ ψαλμῳδίας τε καὶ εὐχὰς ἀναπέμπων, ἀεὶ ἡμέρας τε καὶ νυκτός, συναυξάνων ἔν τε πόνοις καὶ διακρίσει, τὸν βίον ἐκτελέσας· ὅθεν καὶ ἰαμάτων γέγονας πηγή, καὶ τῶν παίδων φύλαξ ἀκοίμητος· διὸ ἱκέτευε σοῦ δεόμεθα παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

Τῷ αὐτῷ Μηνὶ Κς'. τοῦ Ἁγίου ὁσίου καὶ Θεοφόρου

Πατρὸς ἡμῶν Στυλιανοῦ τοῦ Παφλαγῶνος.

Ἀσκήσεως πέπτωκεν ὁ στερρὸς στύλος,
Στυλιανὸς γὰρ τὸν βίον κατεστράφη.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Στυλιανὸς ἐγεννήθη ἐν Παφλαγωνίᾳ ἡγιασμένος, ὡς ἄλλος Σαμουήλ, ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ ηὔξανε καὶ ἐκραταιοῦτο ἐν τῇ χάριτι τοῦ Χριστοῦ, κατοικητήριον γενόμενος τοῦ Παναγίου Πνεύματος. Σάρκα φορῶν καὶ αὐτὸς ὁ μακάριος καὶ τὸν κόσμον οἰκῶν, οὔτε ὑπὸ τῶν ἐπιθυμιῶν τῆς σαρκὸς εἱλκύσθη, οὔτε ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου. Κατανοήσας τὸ φθαρτὸν τῆς σαρκὸς καὶ τοῦ κόσμου τὸ ἐφήμερον, δὲν ἠθέλησε νὰ δουλεύσῃ αὐτοῖς ἵνα θερίσῃ φθορὰν καὶ ἀπώλειαν, ἀλλὰ συνετάχθη μετὰ τοῦ κρείττονος ἤτοι τῆς ἀθανάτου ψυχῆς, καὶ ταύτης ἀπεφάσισε νὰ ἐπιμεληθῇ ἐν τῷ βίῳ, ἵνα κληρονομήσῃ ζωὴν αἰώνιον. Ὅθεν εὐθὺς ἐξ ἀρχῆς «ἐσκόρπισε, κατὰ τὸ γεγραμμένον, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα». Ἅπαντα τὸν πλοῦτον αὐτοῦ, ὃν ἐκληρονόμησε παρὰ τῶν γονέων, διεμοίρασεν εἰς τοὺς πτωχούς, θεωρῶν ἔγκλημα νὰ πένωνται μὲν ἄλλοι, αὐτὸς δὲ νὰ πλουτῇ. Οὕτω δὲ ἐκ τῆς γῆς ἀνεβίβασε τοὺς θησαυροὺς αὐτοῦ εἰς τὸν οὐρανὸν πρὸς αἰωνίαν περίθαλψιν, Δεσποτικὸν ἐκπληρῶν πρόσταγμα ὅπερ λέγει: «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ



κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν». Καὶ ὄντως, εὐθὺς ὡς διεμοίρασεν ὁ μακάριος τὸν πλοῦτον αὐτοῦ καὶ μετεβίβασεν αὐτὸν διὰ τῆς μεθόδου ταύτης εἰς τὸν οὐρανόν, ἀπεσπάσθη τῶν γηΐνων καὶ πάντων τῶν ματαίων, καὶ ἐξ ὅλης καρδίας αὐτοῦ ἀφωσιώθη εἰς τὴν λατρείαν τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὅθεν καὶ περιεβάλετο τὸ μοναχικὸν σχῆμα, ἵνα εὐσχημόνως πάντοτε ὑπηρετῇ τῷ Κυρίῳ, οὐδὲν ἄλλο φροντίζων καὶ ζητῶν, ἤ, κατὰ τὴν ἀποστολικὴν παραγγελίαν, τί εὐάρεστον τῷ Κυρίῳ, ἵνα ποιῇ αὐτὸ καὶ οὐδέποτε ἐξετάζων τί ἀρέσκει ἑαυτῷ. Διὰ τοῦτο καὶ ὑπέρτερος ἀνεδείχθη πάντων τῶν μοναχῶν, τοὺς πάντας ὑπερβὰς ἐν ταῖς δι' ἐπιμόνων ἀσκήσεων ἀρεταῖς, αἵτινές εἰσιν ὁ ἀληθὴς τοῦ ἀνθρώπου κόσμος ὁ ἑλκύων τὴν ἀγάπην τοῦ Θεοῦ. Προαγόμενος δὲ ἐπὶ μᾶλλον ἐν τῷ θείῳ ἔρωτι, ἤθελε τρόπον τινά, ἀποφεύγων πᾶν πρόσκομμα, τῷ Θεῷ μόνῳ νὰ συνομιλῇ. Ἀναχωρεῖ λοιπὸν πρὸς τὴν ἔρημον καὶ εἰσέρχεται εἰς σπήλαιόν τι, καὶ κατακλείεται ἐν αὐτῷ. Ἀλλ' ὦ Πανάγαθε Κύριε, ὁποίας χάριτας ἐπιδαψιλεύεις εἰς τοὺς ἐξ ὅλης ψυχῆς ζητοῦντάς σε! Ἀφωσιώθη ἐν τῷ σπηλαίῳ ὁ Ἅγιος! Ἀπέσπασε τὴν διάνοιαν αὐτοῦ ἀπὸ παντὸς ματαίου λογισμοῦ καὶ οὐδὲν ἄλλο ἐμελέτα ἢ τὴν Τρισυπόστατον Θεότητα, καὶ τὴν διὰ Χριστοῦ σωτηρίαν. Οὕτω δὲ ἠγάπησε τὸν Θεὸν ἐξ ὅλης τῆς διανοίας αὐτοῦ, κατὰ τὴν θείαν ἐντολήν. Ἀπέσπασε προσέτι καὶ τὴν καρδίαν αὐτοῦ ἀπὸ παντὸς σαρκικοῦ καὶ κοσμικοῦ, θεωρῶν τὸ ὑπέρκαλλον κάλλος τῆς ΤρισηλίουΘεότητος καὶ τοῦ παγκάλου Λόγου καὶ Σωτῆρος ἡμῶν ἐρώμενος. Οὕτω δὲ ἠγάπησε τὸν Θεὸν καὶ ἐξ ὅλης καρδίας συμφώνως πρὸς τὴν αὐτὴν ἐντολήν. Ἀλλὰ καὶ ἐξ ὅλης τῆς δυνάμεως ἠγάπησεν Αὐτόν, οὐδὲν ἄλλο πράττων ἢ τὰ τοῦ Θεοῦ ἔργα, τουτέστιν ἔργα εὐσεβείας καὶ ἀρετῆς. Οὕτω δὲ ἀπεξεδύθη τὸν παλαιὸν ἄνθρωπον σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, καὶ ἐγένετο καινὸς ἄνθρωπος ἐν Χριστῷ, εἰς δόξαν Θεοῦ Πατρὸς Ἀμήν, ὃν ἠγάπησε καὶ ἐξ ὅλης τῆς διανοίας, καὶ ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ, καὶ ἐντελῶς ἀντηγαπήθη ὑπὸ τῆς Παναγίας Τριάδος, ἥτις καὶ μόνην ἐποιήσατο παρ' αὐτῷ. Ἐπειδὴ δὲ καὶ τὸν πλησίον ὁ Ἅγιος ἠγάπα, διὰ τοῦτο, ἵνα πολλοῖς ὠφέλιμος φανῇ, διετήρει ὁ Κύριος αὐτὸν ἐν τῇ ζωῇ τρέφων δι' ἀγγέλου. Καθὼς